εἰ οὖν ἐστιν ἀεὶ τῆς τοιαύτης συστοιχίας ἡ ἑτέρα ἐν τῇ τοῦ ἑτέρου τάξει, καὶ τὸ γνωστὸν καὶ τὸ αἱρετόν ἐστιν, ὡς ὅλως εἰπεῖν, τὸ κοινωνεῖν τῆς ὡρισμένης φύσεως· ὥστε τὸ αὐτοῦ βούλεσθαι αἰσθάνεσθαι, τὸ αὐτὸν εἶναι τοιονδὶ βούλεσθαί ἐστιν. ἐπεὶ οὖν οὐ κατ' αὐτοὺς ἐσμὲν ἕκαστον τούτων, ἀλλὰ κατὰ μετάληψιν τῶν δυνάμεων ἐν τῷ αἰσθάνεσθαι ἢ γνωρίζειν· αἰσθανόμενος γὰρ, αἰσθητὸς γίνεται ταύτῃ, καὶ κατὰ τοῦτο καθὰ πρότερον αἰσθάνεται, καὶ ᾗ, καὶ οὗ. γνωστὸς δὲ γινώσκων. ὥστε διὰ τοῦτο καὶ ζῆν ἀεὶ βούλεται, ὅτι βούλεται ἀεὶ γνωρίζειν. τοῦτο δὲ ὅτι αὐτὸς εἶναι τὸ γνωστόν. τὸ δὴ συζῆν αἱρεῖσθαι, δόξειε μὲν ἂν εἶναι σκοπουμένοις πως εὔηθες, ὅτι τῶν κοινῶν πρῶτον καὶ τοῖς ἄλλοις ζώοις οἷς τὸ συνεσθίειν ἢ τὸ συμπίνειν. τί γὰρ διαφέρει τὸ πλησίον οὖσι ταῦτα συμβαίνειν, ἢ χωρὶς ἀναφέρειν τὸν λόγον; ἀλλὰ μὴν καὶ τοῦ λόγου κοινωνεῖν τοῦ τυχόντος ἕτερον τοιοῦτον· ἅμα τ' οὔτε διδάσκειν οὔτε μανθάνειν τοῖς αὐτάρκεσι φίλοις οἴονται. μανθάνειν μὲν γὰρ αὐτὸς οὐκ ἔχει ὡς δεῖ. διδάσκοντος δ' οὐ φίλος· ἡ δ' ὁμοιότης φιλία. ἀλλὰ μὴν φαίνεταί γε καὶ πάντες ἥδιον τῶν ἀγαθῶν μετὰ τῶν φίλων κοινωνοῦμεν καθόσον ἐπιβάλλει ἕκαστον, καὶ οὗ δύναται ἀρίστου. ἀλλὰ τούτων τοῖς μὲν ἡδονῆς σωματικῆς, τοῖς δὲ θεωρίας μουσικῆς, τοῖς δὲ φιλοσοφίας. καὶ τόλμαν δεῖ εἶναι τῷ φίλῳ. διό φησι, μόχθος οἱ τηλοῦ φίλοι· ὡς οὐ δεῖ γίνεσθαι ἀπ' ἀλλήλων τούτου γινομένου. ὅθεν καὶ ὁ ἔρως δοκεῖ φιλίᾳ ὅμοιον εἶναι. τοῦ γὰρ συζῆν ὀρέγεται ὁ ἐρῶν· ἀλλ' οὐχ ᾗ μάλιστα δεῖ, ἀλλὰ κατ' αἴσθησιν. ὁ μὲν τοίνυν λόγος ἐκεῖνά φησι διαπορῶν· τὸ δ' ἔργον οὕτω φαίνεται γινόμενον. ὥστε δῆλον ὅτι παρακρούεταί πως ἡμᾶς ὁ διαπορῶν. σκεπτέον ἔνθεν τἀληθές. ὁ γὰρ φίλος βούλεται εἶναι, ὥσπερ ἡ παροιμία φησὶν, ἄλλος Ἡρακλῆς, ἄλλος αὐτός. διέσπασται δὲ καὶ χαλεπὸν τὰ ἐφ' ἑνὸς γίνεσθαι· ἀλλὰ κατὰ μὲν φύσιν, ὁ συγγενέστατον, κατὰ δὲ σῶμα ὅμοιος ἕτερος, ἄλλος δὲ κατὰ τὴν ψυχὴν, καὶ τούτων κατὰ μόριον ἕτερον. ἀλλ' οὐθὲν τι ἧττον βούλεται ὥσπερ αὐτὸς διαιρετὸς εἶναι ὁ φίλος. τὸ οὖν τοῦ φίλου αἰσθάνεσθαι, τὸ αὐτοῦ πως ἀνάγκη αἰσθάνεσθαι εἶναι, καὶ τὸ αὐτόν πως γνωρίζειν. ὥστε καὶ τὰ φορτικὰ μὲν συνήδεσθαι καὶ συζῆν τῷ φίλῳ ἡδὺ εὐλόγως. συμβαίνει γὰρ ἐκείνου ἅμα αἴσθησις ἀεί· μᾶλλον δὲ τὰς θειοτέρας ἡδονάς.

A Quoniam igitur in eiuſmodi ſerie, altera
ſemper in alterius ordine continetur, &
cognoſcibile vtique eligibile eſt, & vt in
ſumma communicatio determinatæ na-
turæ: quocirca idem velle ſentire, & eun-
dem talem quendam eſſe velle. Et quo-
niam non ſecundum nos ipſos horum v-
numquódque ſumus, ſed participatione
facultatum ſentiendo, cognoſcendóque
(ſentiens enim ſenſibilis redditur, vt iux-
ta hoc, vt ſecundum prius ſentit qua &
B cuius, & cognoſcibilis redditur cognoſcés)
eodem pacto & viuere ſemper volumus,
ob iuge cognoſcendi deſiderium, hoc eſt,
quia & ipſe cognoſcibile quidpiam eſſe
cupit, electionem eſſe cupit. Electionem
autẽ conuictus ſtultũ forte quiſpiã iudica-
rit. In congreſſibus primum etiam anima-
lium cæterorum, vt ſimul edere, ſimul bi-
bere. Quid enim aut in cõmuni, aut ſeor-
ſim ſermonem conferre differt? Deinde
C etiam ſermone communicare, cuiuſlibet
eſt. Adde quòd qui amicus idoneus eſt, di-
ſcere videri nõ vult. Docẽtis enim amicus
non eſt, quando ſimilitudo quædam eſt
amicitia, ſed videtur tamen. Equidem
ſuauius bonum omnes cum amicis com-
municamus. Quantum ſcilicet quodque
ſuauitatis adiicit & qua præſtãtiſſima quiſ
que pollet. Ex iis autem alia voluptatem
corporalem, alia muſicam, alia phyſicam
D contemplationem habent. Audacia porrò
congrediendi amicos decet. Vnde qui-
dam inquit: Labor: ſunt procul amici: quo
circa voluptate allata non diſiunctos eſſe
oportuit. Vnde amor maximè, vt videtur,
amicitiæ ſimilis. Bene enim viuere amor
cupit, non equidem quàm oportuit potiſ-
ſimum, ſed iuxta ſenſus. Ratio ergo illa
dubitando profert: ipſum autem opus ſic
contigiſſe videtur. Vnde patet, hæc am-
E bigentem nobis imponere, Veritas autem
hinc conſideratur. Amicus enim eſſe
vult, vt prouerbium habet: Alter Hercu-
les, & alter ipſe. Atqui diuulſus eſt: diffici-
léque quę ab vno diſceſſerunt, vnum eſſe.
Atqui iuxta naturam quidem quæ cogna-
tiſſima eſt, ſimilis eſt: iuxta corpus verò,
diuerſus, ac etiam iuxta animam diuer-
ſus eſt, iuxtáque partes animę diuerſus: ni-
hilò minus idem, indiuiſúſque amicus eſ-
F ſe vult. Itaque amicum ſentire, ſe ipſum
quodam modo ſentire neceſſariò eſt, co-
gnoſceréque, ac ſi quid moleſtum amico
incidit, in eo collætari, ac cõuiuere amico
ſine dubio iucundum eſt: accidit enim,
vt illius ſenſus aliquis nobis ſimul ingera-
tur, præſertim ſi qua diuina voluptas eſt.